# E08.05 Aischylos‘ Perser: 1. Stasimon als docx

| | | | |
|---|---|---|---|
| 65 | 73 | | ion |
| πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη | πολυάνδρου δ’ Ἀσίας θούριος ἄρχων | ⏑⏑––¦⏑⏑––¦⏑⏑–– | |
| βασίλειος στρατὸς εἰς ἀν- | ἐπὶ πᾶσαν χθόνα ποιμα- | ⏑⏑––¦⏑⏑–– | |
| τίπορον γείτονα χώραν, | νόριον θεῖον ἐλαύνει | ⏑⏑––¦⏑⏑–– | |
| λινοδέσμῳ σχεδίᾳ πορθ- | διχόθεν, πεζονόμον τ’ ἔκ | ⏑⏑––¦⏑⏑–– | |
| μὸν ἀμείψας | τε θαλάσσας[1], | ⏑⏑–– | |
| Ἀθαμαντίδος Ἕλλας, | ἐχυροῖσι πεποιθὼς | ⏑⏑–¦⏑⏑–– | |
| πολύγομφον ὅδισμα | στυφελοῖς ἐφέταις, χρυ- | ⏑⏑–¦⏑⏑–– | |
| ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου. | σογόνου γενεᾶς ἰσόθεος φώς. | ⏑⏑–¦⏑⏑––¦⏑⏑–– | |
| 81 | 87 | | |
| κυάν<u>εο</u>ν δ’ ὄμμασι λεύσσων | δόκιμος δ’ οὔτις ὑποστὰς | ⏑⏑––¦⏑⏑–– | |
| φονίου δέργμα δράκοντος, | μεγάλῳ ῥεύματι φωτῶν | ⏑⏑––¦⏑⏑–– | |
| πολύχειρ καὶ πολυναύτας, | ἐχυροῖς ἕρκεσιν εἴργειν | ⏑⏑––¦⏑⏑–– | |
| Σύριόν θ’ ἅρμα διώκων, | ἄμαχον κῦμα θαλάσσας· | ⏑⏑––¦⏑⏑–– | |
| ἐπάγει δουρικλύτοις ἀν- | ἀπρόσοιστος γὰρ ὁ Περσᾶν[2] | ⏑⏑––¦⏑⏑–– | |
| δράσι τοξόδαμνον Ἄρη. | στρατὸς ἀλκίφρων τε λαός. | ⏑⏑–⏑–⏑–– | anaclom |
| 93 | 98 | | |
| δολόμητιν δ’ ἀπάταν θεοῦ | φιλόφρων γὰρ παρασαίνει | ⏑⏑––¦⏑⏑–– | |
| τίς ἀνὴρ θνατὸς ἀλύξει; | βροτὸν εἰς ἄρκυας Ἄτα, | ⏑⏑––¦⏑⏑–– | |
| τίς ὁ κραιπνῷ ποδὶ πήδη- | τόθεν οὐκ ἔστιν ὕπερθέν | ⏑⏑––¦⏑⏑–– | |
| μα τόδ’ εὐπετῶς ἀνᾴσσων; | νιν ἄνατον ἐξαλύξαι. | ⏑⏑–⏑–⏑–– | anaclom |
| 102 | 109 | | |
| θεόθεν γὰρ κατὰ Μοῖρ’ | ἔμαθον δ’ εὐρυπόροι- | ⏑⏑––⏑⏑– | |
| ἐκράτησεν τὸ παλαι- | ο[3] θαλάσσας πολιαι- | ⏑⏑––⏑⏑– | |
| όν, ἐπέσκηψε δὲ Πέρσαις | νομένας πνεύματι λάβρῳ | ⏑⏑––¦⏑⏑–– | |
| πολέμους πυργοδαΐκτους | ἐσορᾶν πόντιον ἄλσος, | ⏑⏑––¦⏑⏑–– | |
| διέπειν ἱππιοχάρμας | πίσυνοι λεπτοδόμοις πεί- | ⏑⏑––¦⏑⏑–– | |
| τε κλόνους | σμασι λα- | ⏑⏑– | |
| πόλεών τ’ ἀναστάσεις. | οπόροις τε μαχαναῖς. | ⏑⏑–¦⏑–⏑– | |
| 114 | 119 | | |
| ταῦτά μοι μελαγχίτων | καὶ τὸ Κισσίων πόλισμ’ | –⏑–⏑–⏑– | lecyth |
| φρὴν ἀμύσσεται φόβῳ, | ἀντίδουπον ᾄσεται, | –⏑–⏑–⏑– | |
| ὀᾶ, Περσικοῦ στρατεύματος | ὀᾶ, τοῦτ’ ἔπος γυναικοπλη- | ⏑–¦–⏑–⏑–⏑– | |
| τοῦδε, μὴ πόλις πύθη- | θὴς ὅμιλος ἀπύων, | –⏑–⏑–⏑– | |
| ται κένανδρον μέγ’ ἄστυ Σουσίδος, | βυσσίνοις δ’ ἐν πέπλοις πέσῃ λακίς. | –⏑–¦–⏑–⏑–⏑– | |
| 125 | 132 | | |
| πᾶς γὰρ ἱππηλάτας | λέκτρα δ’ ἀνδρῶν πόθῳ | –⏑–¦–⏑– | cret |
| καὶ πεδοστιβὴς λεὼς | πίμπλαται δακρύμασιν· | –⏑–⏑–⏑– | lecyth |
| σμῆνος ὣς ἐκλέλοιπεν μελισ- | Περσίδες δ’ ἁβροπενθεῖς ἑκά- | –⏑–¦–⏑–¦–⏑– | cret |
| σᾶν σὺν ὀρχάμῳ στρατοῦ, | στα πόθῳ φιλάνορι | –⏑–⏑–⏑– | lecyth |
| τὸν ἀμφίζευκτον ἐξαμείψας | τὸν αἰχμάεντα θοῦρον εὐνα- | ⏑––¦⏑–⏑–⏑– | bach lecyth |
| ἀμφοτέρας ἅλιον | τῆρ’ ἀποπεμψαμένα | –⏑⏑–⏑⏑– | hehex |
| πρῶνα κοινὸν αἴας. | λείπεται μονόζυξ. | –⏑–⏑–– | ithyph |

---

[1] *θαλάσσας passim dor. -α- statt att. -η- = θαλάσσης*

[2] *Περσᾶν dor. Gen.Pl. = Περσῶν*

[3] *εὐρυπόροιο ep. Gen.Sg. = εὐρυπόρου*